χεν, τοὶ πολιανόμοι τοὶ ἀεὶ ἐπὶ τῶν ϝετέων ἔντες καὶ αἴ τινάς κα ἄλλως τοὶ πολιανόμοι ποθελώνται ἀπὸ τῶ δάμω, ὀμοσάντες δοκιμαξόντι καὶ ἀνανγελίοντι ἐν ἁλίαι θασαμένοι τὰν γᾶν πὸτ τὰν τῶν ἐπιχωρίων· ἐπιμεληςόνται δὲ καὶ τῶν ὑπαρχόντων δενδρέων· αἰ δέ τινά κα γήραι ἢ ἀνέμωι ἐκπέτωντι, αὐτοὶ ἑξόντι· ταῦτα δὲ πάντα πεφυτευμένα παρέξόντι καὶ ἐνδεδιωκότα ὅσσα ἐν τᾶι συνθήκαι γεγραψάται ἐν τῶι πέμπτωι καὶ δεκάτωι ϝέτει ἀπὸ τῶ ποτεχεῖ ϝέτεος ἢ Ἀριστίων ἐφορεύει· αἰ δέ κα μὴ πεφυτεύκωντι κὰτ τὰ γεγραμμένα, κατεδικάσθεν πὰρ μὲν τὰν ἐλαίαν δέκα νόμως ἀργυρίω πὰρ τὸ φυτὸν ἕκαστον, πὰρ δὲ τὰς ἀμπέλως δύο μνᾶς ἀργυρίω πὰρ τὰν σχοῖνον ἑκάσταν· τὼς δὲ πολιανόμως τὼς ἐπὶ τῶ ϝέτεος ποθελομένως μετ' αὐτὸς αὐτῶν ἀπὸ τῶ δάμω μὴ μεῖον ἢ δέκα ἄνδρας ἀμφιστάσθαι, ἤ κα πεφυτεύκωντι πάντα κὰτ τὰν συνθήκαν, καὶ τὼς πεφυτευκότας ἀνγράψαι ἐς δόγμα, ἀνγράφεν δὲ ὅσσα κα πεφυτεύκωντι, ἂν αὐτὰ δὲ τὰ καὶ εἴ τινές κα μὴ πεφυτεύκωντι κὰτ τὰν συνθήκαν, ἀνγραψάντω καὶ ἐπελάσθω τὰ ἐπιζάμια τὰ γεγραμμένα πὸτ τῶι ἄλλωι μισθώματι· αἰ δέ τις κα ἐπιβῆι ἢ νέμει ἢ φέρει τι τῶν ἐν τᾶι ἰαρᾶι γᾶι ἢ τῶν δενδρέων τι κόπτηι ἢ θραύηι ἢ πριῶι ἢ ἄλλο τι σινήται, ὁ μεμισθωμένος ἐγδικαξήται ὡς *πολιστων*, καὶ ὅτι κα λάβει αὐτὸς ἑξεῖ. τὰς δὲ τράφως τὰς διὰ τῶν χώρων ῥεώσας καὶ τὼς ῥόως οὐ κατασκαψόντι οὐδὲ διασκαψόντι τῶι ὕδατι οὐδὲ ἐφερξόντι τὸ ὕδωρ οὐδ' ἀφερξόντι, ἀνκοθαρίοντι δὲ ὁσσάκις κα δεώνται τὰ πὰρ τὰ αὐτῶν χωρία ῥέοντα οὐδὲ τὰς ὁδὼς τὰς ἀποδεδειγμένας ἀρασόντι οὐδὲ συνέρξόντι οὐδὲ κωλυσόντι πορεύεσθαι· ὅτι δέ κα τούτων τι ποίωντι πὰρ τὰν συνθήκαν, τοὶ πολιανόμοι τοὶ ἀὲς ἐπὶ τῶ ϝέτεος ἐπικαταβα[λί]οντι καὶ ζαμιωσόντι ἄχρι ὧ κα ἀφομοιώσωντι κὰτ τὰν συνθήκαν· οὐ κοψεῖ δὲ τῶν δενδρέων οὐδὲ θραυσεῖ οὐδὲ πριωσεῖ οὐδὲ ἧς οὐδὲ ἓν οὐδὲ ἄλλος τήνωι, οὐδὲ γαιώνας θησεῖ πὰρ τὼς ὑπαρχόντας οὐδὲ σαρμευσεῖ, αἰ μὴ ὅσσα κα ἐν αὐτᾶι τᾶι γᾶι ἇι μεμισθῶται οἰκοδομήται, οὐδὲ τοφιώνας ἐν τᾶι ἰαρᾶι γᾶι ποιησεῖ οὐδὲ ἄλλον ἐασεῖ· αἰ δὲ μή, ὑπόλογος ἐσσήται ὡς τὰν ἰαρὰν γᾶν ἀδικίων. οἰκοδομησήται δὲ καὶ οἰκίαν ἐν τοῖς χώροις τούτοις, βοῶνα, μυχόν, ἀχύριον· τὸν μὲν βοῶνα τὸ μὲν μᾶκος ϝίκατι καὶ δυῶν ποδῶν, τὸ δὲ εὖρος ὀκτὼ καὶ δέκα ποδῶν, τὸν δὲ ἀχύριον μὴ μεῖον τὸ μὲν μᾶκος ὀκτὼ καὶ δέκα ποδῶν, τὸ δὲ εὖρος πέντε καὶ δέκα ποδῶν, τὸν δὲ μυχὸν πέντε καὶ δέκα ποδῶν πανταῖ· ταῦτα δὲ παρεξόντι οἰκοδομημένα καὶ στεγόμενα καὶ τεθυρωμένα ἐν τοῖς χρόνοις ἐν οἷς καὶ τὰ δένδρεα δεῖ πεφυτευκῆμεν· αἰ δὲ μή, κατεδικάσθεν πὰρ μὲν τὸν βοῶνα ϝὲξ μνᾶς ἀργυρίω, πὰρ δὲ τὸν ἀχύριον τετόρας μνᾶς ἀργυρίω, πὰρ δὲ τὸν μυχὸν τρῖς μνᾶς ἀργυρίω· τῶν δὲ ξύλων τῶν ἐν τοῖς δρυμοῖς οὐδὲ τῶν ἐν τοῖς σκίροις οὐ πωλησόντι οὐδὲ κοψόντι οὐδὲ ἐμπρησόντι οὐδὲ ἄλλον ἐασόντι· αἰ δὲ μή, ὑπόλογοι ἐσσόνται κὰτ τὰς ῥήτρας καὶ κὰτ τὰν συνθήκαν. ἐς δὲ τὰ ἐποίκια χρησόνται ξύλοις ἐς τὰν οἰκοδομὰν οἷς κα δηλώνται καὶ ἐς τὰς ἀμπέλως· τῶν δὲ ξηρῶν κοψόντι ὅσσα αὐτοῖς πὸτ οἰκίαν ἐς χρείαν, τοῖς δὲ σκίροις καὶ τοῖς δρυμοῖς χρησόνται τοὶ μισθωσαμένοι ἂν τὰν αὐτῶ μερίδα ἕκαστος· ὅσσαι δέ κα τῶν ἀμπέλων ἢ τῶν δενδρέων ἀπογηράσωντι, ἀποκαταστασόντι τοὶ καρπιζομένοι, ὡς ἦμεν τὸν ἴσον ἀριθμὸν ἀεί· οὐχ ὑπογραψόνται δὲ τὼς χώρως τούτως οἱ μισθωσαμένοι οὐδὲ τίμαμα οἰσόντι οὔτε τῶν χώρων οὔτε τᾶς ἐπιοικοδομᾶς· αἰ δὲ μή, ὑπόλογος ἐσσήται κὰτ τὰς ῥήτρας. αἰ δέ τίς κα τῶν καρπιζομένων ἄτεκνος ἄφωνος ἀποθάνει, τᾶς πόλιος πᾶσαν τὰν ἐπικαρπίαν ἦμεν· αἰ δέ χ' ὑπὸ πολέμω ἐγϝηληθίωντι, ὥστε μὴ ἐξῆμεν τὼς μεμισθωμένως καρπεύεσθαι, ἀνέωσθαι τὰν μίσθωσιν καθά κα τοὶ Ἡρακλείοι διαγνῶντι καὶ μὴ ἦμεν ὑπολόγως μήτε αὐτὼς μήτε τὼς πρωγγύως τῶν ἐν τᾶι συνθήκαι γεγραμμένων. τὼς δὲ πρωγγύως τὼς ἀεὶ γενομένως πεπρωγγυευκῆμεν τῶν τε μισθωμάτων καὶ τῶν ἐπιζαμιωμάτων καὶ τῶν ἀμπωλημάτων καὶ τᾶν καταδικᾶν καὶ αὐτὼς καὶ τὰ χρήματα ἅ κα ἐπιμαρτυρήσωντι, καὶ μὴ ἦμεν μήτε ἄρνησιν μήτε παλινδικίαν μηδὲ κὰτ ἄλλον μηδὲ ἕνα τρόπον τᾶι πόλι πράγματα παρέχεν μηδὲ τοῖς ὑπὲρ τᾶς πόλιος πρασσόντασσι· αἰ δὲ μή, ἀτελὲς ἦμεν. Δεύτερος. ὁ δὲ τὸν δεύτερον [χῶρον] μισθωσάμενος καρπευσήται ἀπὸ τᾶς τριακονταπέδω τᾶς διὰ τῶν τετρώρων ἀγώσας ἐπὶ τὸν ἄντομον τὸν πρᾶτον ὅσσος κ' εἶ καὶ πραξεῖ πάντα κὰτ τὰν συνθήκαν καὶ ὑπόλογος ἐσσήται καὶ αὐτὸς καὶ τοὶ πρωγγύοι, ὅτι κα μὴ πράξει κὰτ τὰν συνθήκαν. Τρίτος. ὁ δὲ τὸν τρίτον χῶρον μισθωσάμενος καρπευσήται ἀπὸ τῶ ἀντόμω τῶ ἀνώτερον τᾶς τριακονταπέδω πὸτ τὸν ἄντομον τὸν δεύτερον ἀπὸ τᾶς τριακονταπέδω καὶ πραξεῖ πάντα κὰτ τὰν συνθήκαν καὶ ὑπόλογος ἐσσήται καὶ αὐτὸς καὶ τοὶ πρωγγύοι, ὅτι κα μὴ πράξει κὰτ τὰν συνθήκαν. Τέταρτος. ὁ δὲ τὸν τέταρτον χῶρον μισθωσάμενος πάρ τε τῶν πολιανόμων τῶν ἐπὶ Ἀριστίωνος ἐφόρω καὶ τῶν ὁριστᾶν καὶ πὰρ τῶν πολιανόμων τῶν ἐπὶ Ἀριστάρχω τῶ Ἡρακλείδα ἐφόρω ἅ ἄνθεμα Φιλωνύμω τῶ Φιλωνύμω, ἅ ἔμβολος Ἡρακλείδα τῶ Τιμοκράτιος καρπευσήται ἀπὸ τῶ ἀντόμω τῶ τρίτω ἀπὸ τᾶς τριακονταπέδω ἐπὶ τὸν ἄντομον τὸν ὁρίζοντα τώς τε τῶ Διονύσω χώρως καὶ τὰ Φιντίας ὁ Κρατίνω παμωχεῖ. ὁ δὲ ἀνελόμενος ἐργαξήται τὰ μὲν ἄλλα κὰτ τὰν συνθήκαν, καθὼς καὶ τὼς λοιπὼς γεγράπται· τὰς δὲ ἀμπέλως τὰς ὑπαρχώσας ἐργαξήται ὡς βέλτιστα· ὅσσαι δέ κα τᾶν ἀμπέλων ἀπογηράσκωντι ποτιφυτευσεῖ, ὥστε ἀεὶ ὑπάρχεν τὸν ἴσον ἀριθμὸν τᾶν σχοίνων τὸν νῦν ὑπάρχοντα, ϝίκατι τετόρας σχοίνως· αἰ δὲ μή, προκαδδεδικάσθω δύο μνᾶς ἀργυρίω πὰρ τὰν σχοῖνον ἑκάσταν· τὰς δὲ ἐλαίας καὶ τὰς συκίας καὶ τὰ ἄλλα δένδρεα τὰ ἥμερα τὰ ὑπάρχοντα πάντα ἐν τᾶι μερίδι ταύται περισκαψεῖ καὶ ποτισκαψεῖ καὶ περικοψεῖ τὰ δεόμενα, καὶ αἴ τινά κα γήραι ἢ ἀνέμωι ἐκπέτωντι, ἀποκαταστασεῖ μὴ μείω τὸν ἀριθμὸν τῶν ὑπαρχόντων· ποτιφυτευσεῖ δὲ καὶ ἐλαίας ἐν τᾶι ψιλᾶι ὁμολόγως ποίων τοῖς ὑπαρχόντασσι δενδρέοις καὶ τὸν ἀριθμὸν τὸν ἴσον, καθὼς καὶ ἐν τᾶι ἄλλαι συνθήκαι γεγράπται. ὅτι δέ κα μὴ πράξει ὁ ἀνελόμενος κὰτ τὰν συνθήκαν ἢ μὴ ἐν τοῖς χρόνοις τοῖς γεγραμμένοις, ὑπόλογος ἐσσήται τοῖς πολιανόμοις καὶ τοῖς σιταγέρταις τοῖς ἐπὶ τῶ ϝέτεος, καθὼς καὶ ἐν τᾶι ἄλλαι συνθήκαι γεγράπται· αἰ δέ κα τοὶ πολιανόμοι τοὶ ἀεὶ ἐπὶ τῶν ϝετέων ἔντες μὴ πράξωντι πάντα κὰτ τὰν συνθήκαν, αὐτοὶ ὑπόλογοι ἐσσόνται κὰτ τὰν συνθήκαν. Ἐπὶ τούτοις ἐμισθώσαντο τὰν μὲν πράταν μίσθωσιν ἀπὸ τῶν τῶ Ἡρώιδα με κιβώτιον Βορμίων Φιλώτα πεντήκοντα ἑπτὰ μεδίμνων, κάδδιχος· πρώγγυος τῶ σώματος με κιβώτιον Ἀρκὰς Φιλώτα. τὰν δὲ δευτέραν μίσθωσιν ἅ ἔμβολος Δάμαρχος Φιλωνύμω τετρώκοντα μεδίμνων· πρώγγυος τῶ σώματος ..... Θεόδωρος Θε-

οδώρω. τὰν δὲ τρίταν μίσθωσιν Ϝε γυῖον Πεισίας Λεοντίσκω τριάκοντα πέντε μεδίμνων· πρώγγυος τῶ σώματος κν σφαιρωτῆρες Ἀριστόδαμος .... τὰν δὲ τετάρταν μίσθωσιν αλ λωτήριον Φίλιππος Φιλίππω διακατίων ἑβδεμήκοντα ὀκτὼ μεδίμνων· πρώγγυος τῶ σώματος πε καρυκεῖον Ἀπολλώνιος Ἡρακλήτω.

Γραμματεὺς Ϝε γυῖον Ἀριστόδαμος Συμμάχω· γαμέτρας Χαιρέας Δάμωνος Νεαπολίτας.

II.

Ἔφορος Δάζιμος. ἁ πόλις καὶ τοὶ ὁρισταὶ Ϝε τρίπους Φιλώνυμος Ζωπυρίσκω, πε καρυκεῖον Ἀπολλώνιος Ἡρακλήτω, αι πέλτα Δάζιμος Πύρρω Ἀθάναι Πολιάδι.

Ἀνεγράψαν τοὶ ὁρισταὶ τοὶ αἱρεθέντες ἐπὶ τὼς χώρως τὼς ἱαρὼς τὼς τᾶς Ἀθάνας τὼς ἐν Κοίλαι Φιλώνυμος Ζωπυρίσκω, Ἀπολλώνιος Ἡρακλήτω, Δάζιμος Πύρρω, καθὰ ὡρίξαν καὶ συνεμετρήσαν καὶ ἐτερμάξαν καὶ ἐμερίξαν τῶν Ἡρακλείων διαγνόντων ἐν κατακλήτωι ἁλίαι. Συνεμετρήσαμες δὲ ἀρξαμένοι ἀπὸ τῶ ἀντόμω τῶ ἀπὸ Καινᾶν ἄγοντος ἐπὶ τὰν ὁδὸν τὰν τριακοντάπεδον τὰν ἐπὶ θάλασσαν ἄγωσαν, καὶ ἐγένοντο ἀπὸ τῶ ἀντόμω ποτὶ τὰν βουβῆτιν τὰν διὰ τῶν γυᾶν ἐκ πόλιος ῥέωσαν ἑπτὰ γύαι, ἀπὸ δὲ τᾶς βουβήτιος ἐπὶ τὰν τριακοντάπεδον τρεῖς καὶ δέκα γύαι· ἀπὸ δὲ τᾶς τριακονταπέδω ἐπὶ τὰν τριακοντάπεδον τὰν διὰ τῶν τριημιγύων ἄγωσαν, καὶ ἐγένοντο ἐννέα τριημίγυα. διαβάντες δὲ τὰν τριακοντάπεδον ἐμετρίωμες ποτὶ τὸν Ϝικατίδειον καὶ ἀπεμετρήσαμες τὸ δέκατον τριημίγυον· τὰ δὲ τρίγυα οὐκ ἐξεποῖον καθὼς τὸ ἀρχαῖον εὑρίσκομες γεγενημένα, ἀλλὰ πενθημίγυον μόνον κατελείπετο ἐκ τῶν δυῶν τριγύων, τὰν δὲ λοιπὰν γᾶν Ϝιδίαν τινὲς ἐπεποίηντο· ταύταν ἀπεκατεστάσαμες τᾶι Ἀθάναι κὰτ τὰ ἀρχαῖα. ἀπὸ δὲ τῶ Ϝικατιδείω τὰν ἐς ποταμὸν τὸν Ἄκιριν γᾶν ποτιγενομέναν τὰν ἐμ μέσσωι τᾶς τε ἑκατομπέδω καὶ τᾶς Ἡρακλείας ὁδῶ, καὶ ταύταν πᾶσαν Ϝιδίαν ἐπεποίηντό τινες· καὶ τοὶ μὲν ἐριξάντες ἀπέσταν, τοῖς δὲ ἐδικαξάμεθα δίκας τριακοσταίας, καὶ ἀποκαταστασάντες τᾶι θεῶι κὰτ τὰ ἀρχαῖα ταύταν τὰν γᾶν κατεδασσάμεθα καὶ ὅρως ἐπάξαμες ἐφ' ἑκάστας τᾶς μερίδος καὶ ἐποιήσαμες πὰρ τὸ τριημίγυον τὸ δέκατον πρᾶτον τρίγυον, ποτθέντες πὸτ τὸ πενθημίγυον ἀφ' ἇς κατεσώιξαμες γᾶς ὥστ' ἦμεν ἔκπλεον εὖρος τρίγυον, μᾶκος ἀπὸ τᾶς ἑκατομπέδω ἄχρι πὸτ τὰν Ἡρακλέαν ὁδὸν ἂν τὼς ὅρως, καὶ ἐγένοντο σχοίνοι ἑκατὸν τριάκοντα ὀκτώ, ὀρέγματα ὀκτώ, ψιλᾶς μὲν ἑκατὸν τριάκοντα τρῖς, ὀρέγματα Ϝίκατι Ϝέξ, ποῦς, ἀμπέλων δὲ τετόρες σχοίνοι, ὀρέγματα δέκα ἕν, πόδες τρῖς. αὕτα ἁ γᾶ ἐμισθώθη τὰν πράταν πενταετηρίδα διακοσίων Ϝεξήκοντα ἐννέα μεδίμνων, χοός, δυῶν χοινίκων· ἀπὸ δὲ τούτω ⟨τω⟩ τῶ τριγύω ἐμετρήσαμες πὸτ τὸ Ϝικατίδειον δεύτερον τρίγυον, εὖρος ἂν τὼς ὅρως, μᾶκος ἀπὸ τᾶς ἑκατομπέδω ποτὶ τὰν Ἡρακλείαν ὁδόν, καὶ ἐγένοντο σχοίνοι ἑκατὸν τριάκοντα ἐννέα, ψιλᾶς μὲν ἑκατὸν Ϝίκατι τρῖς σχοίνοι, ἀμπέλων δὲ δέκα Ϝὲξ σχοίνοι. τοῦτο τὸ τρίγυον ἐμισθώθη Ϝεξακατίων ἐνενήκοντα πέντε μεδίμνων.

διαβάντες δὲ τὸν Ϝικατίδειον ἐποιήσαμες πράταν μερίδα πὰρ ἑκ[ατόνπεδον, ἐν ἇι ἁ ἀμπελωργικά, καὶ ἐτάμομες κοινὰν πόθοδον ἐκ τῶ Ϝικατιδείω πὸτ τὰν οἰκίαν Ϝικατίπεδον καὶ ἀπὸ τᾶς οἰκίας πὰρ τὰς ἀμπέλως ἄχρι ἐς ποταμὸν ὀκτάπεδον. καὶ ἐμετρίωμες ἀπὸ τῶ Ϝικατιδείω τὸ πὸτ Ἄκιριν ἐπὶ τὰν διαστολὰν τὰν πλαγίαν τὰν ἀπὸ τᾶς ποθόδω τᾶς κοινᾶς ἀγώσας ἐς τὰν ἑκατόνπεδον, καὶ ἐγένοντο πεντήκοντα ἐννέα σχοίνοι ἡμίσχοινον, ψιλᾶς μὲν πεντήκοντα μία, ὀρέγματα ἑπτά, ἀμπέλων δ[ὲ ὀκτὼ σχοίνοι, ὀρέγματα ὀκτώ· αὕτα ἐμισθώθη τετρακατίων τεσσαρά[κοντα Ϝὲξ μεδίμνων, καδδίχων τεσσάρων. Δευτέρα μερίς, ἐν ἇι ἁ οἰκία [ἐστί, μᾶκος ἀπὸ τῶ Ϝικατιδείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὅρων καὶ τᾶς ποθόδω τᾶς ὀκταπέδω τᾶς ἐς ποταμὸν ἀγώσας ἐπὶ τὼς ὅρως, καὶ ἐγένοντο Ϝεξήκοντα τρεῖς σχοίνοι, ὀρέγματα δέκα δύο· ταύται τᾶι μερίδ[ι ποτεδασσάμεθα ἀμπέλων τὰν πράταν διαστολὰν τὰν πὰρ τὰν ἑκατόνπεδον, ὀκτὼ σχοίνως, ὀρέγματα Ϝείκατι Ϝέξ, πόδας δύο, καὶ ἐγένετο ἁ πᾶσα μερὶς

ἑβδεμήκοντα δύο σχοίνοι, ὀρέγματα ὀκτώ, πόδες δύο· αὕτα ἐμισθώθη ϝεξακατίων τριάκοντα δυῶν μεδίμνων, χοός. Τρίτα μερὶς μᾶκος ἀπὸ τῶ ϝεικατιδείω ἐπὶ τὰν τράφον τὰν παρ' ποταμόν, εὖρος ἀπὸ τῶν ὅρων τῶν τᾶς δευτέρας μερίδος ἐπὶ τὼς ὅρως, καὶ ἐγένοντο ψιλᾶς μὲν ϝεξήκοντα ϝὲξ σχοίνοι ἡμίσχοινον· ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν δευτέραν διαστολὰν ἀφ' ἑκατονπέδω ἑπτὰ σχοίνως, ὀρέγματα δέκα ἑπτά, καὶ ἐγένετο ἁ πᾶσα μερὶς ἑβδεμήκοντα τετόρες σχοίνοι, ὀρέγματα δύο· αὕτα ἐμισθώθη ϝεξακατίων τριάκοντα μεδίμνων, δυῶν καδδίχων, χοινίκων δυῶν. Τετάρτα μερὶς μᾶκος ἀπὸ τῶ ϝικατιδείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὅρων τῶν τᾶς τρίτας μερίδος ἐπὶ τὼς ὅρως καὶ ἐπὶ τὸν ἄντομον τὸν διατάμνοντα τὼς χώρως, τὸν ἐτάμομες ἐκ τῶ ϝικατιδείω ἐς ποταμὸν κοινὸν πᾶσι χρῆσθαι τοῖς τὼς ἱαρὼς χώρως μεμισθωμένοις, καὶ ἐγένοντο ψιλᾶς μὲν ϝεξήκοντα ὀκτὼ σχοίνοι, ὀρέγματα δέκα τρία· ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τρίταν διαστολὰν ἀφ' ἑκατομπέδω τὰν ποτικλαίγωσαν πὸτ τὰν πόθοδον τὰν ὀκτάπεδον δέκα πέντε σχοίνως, ὀρέγματα ἑπτά, [καὶ] ἐγένετο ἁ πᾶσα μερὶς ὀγδοήκοντα τρεῖς σχοίνοι, ὀρέγματα ϝείκατι· αὕτα ἐμισθώθη ϝεξακατίων τριάκοντα μεδίμνων. Ἀπὸ δὲ τῶ ἀντόμω τῶ διατάμνοντος τὼς χώρως τῶ ἐς ποταμὸν ἄγοντος τῶ ϝικατιπέδω ἐμετρίωμες μᾶκος μὲν ἐπὶ τὰν Ἡρακλείαν, εὖρος δὲ ἀπὸ τῶ ϝικατιδείω ἐπὶ τὼς ὅρως (*spatium*) τὼς πράτως, καὶ κατελίπομες πόθοδον ἐκ τῶ ϝεικατιδείω ποτὶ τὰν οἰκίαν ϝεικατίπεδον, καὶ ἐγένετο ἁ μερὶς αὕτα ψιλᾶς ϝεξήκοντα δύο σχοίνοι· ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν πράταν στάσιν τὰν πὸτ τὸν ϝικατίδειον ϝὲξ σχοίνως ἡμίσχοινον, καὶ ἐγένετο ἁ πᾶσα μερὶς ϝεξήκοντα ὀκτὼ σχοίνοι ἡμισχοίνον· αὕτα ἐμισθώθη ὀκτακατίων πεντήκοντα ϝὲξ μεδίμνων, καδδίχων τετόρων. Δευτέρα μερὶς ἀπὸ τῶ ϝικατιδείω, ἐν ᾶι ἁ οἰκία ἐστί, ἀπὸ τῶ ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος μᾶκος ἐπὶ τὰν Ἡρακλείαν, εὖρος ἀπὸ τῶν ὅρων ἐπὶ τὼς ὅρως, καὶ ἐγένετο ψιλᾶς πεντήκοντα ἐννέα σχοίνοι ἡμίσχοινον· ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν δευτέραν στάσιν ἀπὸ ϝικατιδείω ϝὲξ σχοίνως ἡμίσχοινον, καὶ ἐγένετο ἁ πᾶσα μερὶς ϝεξήκοντα ϝὲξ σχοίνοι· αὕτα ἐμισθώθη τετρακατίων πεντήκοντα ὀκτὼ μεδίμνων, καδδίχων δέκα τετόρων, δυῶν χοινίκων. Τρίτα μερὶς ἀπὸ τῶ ϝικατιδείω πὸτ τὰς ἀμπέλως ἀπὸ τῶ ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος μᾶκος ἐπὶ τὰν Ἡρακλείαν, εὖρος ἀπὸ τῶν ὅρων ἐπὶ τὼς ὅρως, καὶ ἐγένετο ψιλᾶς ϝεξήκοντα τρῖς σχοίνοι ἡμίσχοινον· ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τρίταν στάσιν ἀπὸ ϝικατιδείω ϝὲξ σχοίνως ἡμίσχοινον, καὶ ἐγένετο ἁ πᾶσα μερὶς ἑβδεμήκοντα σχοίνοι· αὕτα ἐμισθώθη τριακατίων ϝὲξ μεδίμνων καδδίχων τετόρων. Τετάρτα μερὶς ἀπὸ ϝικατιδείω μᾶκος μὲν ἀπὸ τῶ ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος ποτὶ τὰν πόθοδον τὰν πὰρ τὰς ἀμπέλως ἄγωσαν, εὖρος ἀπὸ τῶν ὅρων ἐπὶ τὼς ὅρως, καὶ ἐγένετο ψιλᾶς τετρώκοντα ὀκτὼ σχοίνοι· ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τετάρταν στάσιν ἀπὸ ϝικατιδείω ϝὲξ σχοίνως ἡμίσχοινον, καὶ ἐγένετο ἁ πᾶσα μερὶς πεντήκοντα τετόρες σχοίνοι ἡμίσχοινον· αὕτα ἐμισθώθη διακατίων τριάκοντα πέντε μεδίμνων, καδδίχων δέκα πέντε. Πέμπτα μερὶς ἀπὸ ϝικατιδείω μᾶκος ἀπὸ τῶ ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος ποτὶ τὰν πόθοδον τὰν πὰρ τὰς ἀμπέλως ἄγωσαν, εὖρος ἀπὸ τῶν ὅρων ἐπὶ τὰν νᾶσον, καὶ ἐγένετο ψιλᾶς ϝεξήκοντα τετόρες σχοίνοι· ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν πέμπταν στάσιν ἀπὸ ϝικατιδείω ἑπτὰ σχοίνως, ὀρέγματα δέκα ἑπτά, πόδας δύο, καὶ ἐγένετο ἁ πᾶσα μερὶς ἑβδεμήκοντα μία σχοίνοι, ὀρέγματα [δέκα] ἑπτά, πόδες δύο· αὕτα ἐμισθώθη πεντακατίων ὀγδοήκοντα μεδίμνων, καδδίχων δέκα πέντε. ϝέκτα μερὶς τὸ ἔγγωνον τὸ πὰρ τὰς ἀμπέλως τὸ ποτικλαῖγον πὸτ τὰν Ἡρακλείαν κα[ὶ] πὸτ τὸν ποταμόν, καὶ ἐγένετο ψιλᾶς τριάκοντα σχοίνοι· ταύται [τᾶι] μερίδι ποτεδασσάμεθα ἀμπέλων ὀκτὼ σχοίνως ἡμίσχοινον τὰς ἐχομένας τῶ χωρί[ω, καὶ ἐγέν]ετο [ἁ] πᾶσα μερὶς τριάκοντα ὀκτὼ σχοίνοι ἡμίσχοινο[ν. αὕτα ἐμισθώθη .... ἑν]ὸς με[δίμνων ....

- - - - - -

I 10 ὤριξαν Franz, nec videtur aliud fuisse coll. II 8 — I 50 [ὅσσα]ν supplevi, nam quinque litterae perierunt (ꟷ O Σ Σ A); legebatur ἀφ' ὧν — I 59 dittographema est T A N — I 86 τε delevi — I 101 κ[αὶ] αἴ κ' corr. Meister — I 116 ᾶι δέ κα legit Wilamowitz — I 124 an μετ' αὐτὼς αὐτῶν? — I 130 πολιστων latet sive corruptela sive lacuna — I 134 ἐπικαταβαλίοντι corr. Ahrens — I 167 voluit τῶ ἀντόμω τῶ δευτέρω (pro τῶ τρίτω), uti alii observarunt.

II 22 ἀπεκατεστάσαμες integrum reliqui; alii ἀπεκαταστάσαμες, alii ἀποκατεστάσαμες — II 70 καὶ addidi — II 105 δέκα addidi — II 110 legebatur χωρίω τούτω, καὶ ἐγένετο quod spatii ratione refellitur.

Iustum commentarium non capiunt huius loci angustiae; ea igitur breviter adnotabo quae a prioribus sive omissa sive minus recte administrata supplere vel corrigere posse mihi videbar. Ex decreto Heracleotarum ephoro Aristarcho Heraclidae f. finitores quinque agros Dionyso sacros eiectis qui partem eorum in suam potestatem redegerant privatis hominibus finiverunt terminisque positis limitaverunt, deinde in quattuor partes divisos tam accurate descripserunt (I 1—93), ut credas prope accedere ad rei veritatem tabulam ab Kirchhoffio propositam hanc



Agri descripti singulae partes singulis hominibus locantur; locationis lex traditur I 95—187, quae lex ephoro Aristione ex auctoritate civitatis et polianomorum adscitis finitoribus scripta est. Aristio successor putandus est Aristarchi tum quod per se est veri simile agros quam brevissimo post terminationem spatio locatos esse, tum quia lex eidem tabulae inscripta est ac limitatio. Iam vero cum utrumque decretum eodem Apellaeo mense factum sit, integrum annum interpositum fuisse patet, quo anno opus erat ad causas de agris controversiosis institutas peragendas. Quibus causis victis singulae portiones volentibus locatae sunt ephoro Aristione omnes, nisi quod Philippus Philippi f. quartam portionem conduxit (I 165) πάρ τε τῶν πολιανόμων τῶν ἐπὶ Ἀριστίωνος ἐφόρω — καὶ πὰρ τῶν πολιανόμων τῶν ἐπὶ Ἀριστάρχω τῶ Ἡρακλείδα ἐφόρω. Haec igitur ut aliquo modo intellegi possint, de singulari quartae huius portionis condicione pauca dicenda sunt. Complectebatur autem

portio I	agri arabilis	schoenos	201	= 847½
	agri inculti sive silvestris	„	646½	
portio II	agri arabilis	„	273	= 773 [1]
	agri inculti sive silvestris	„	500	
portio III	agri arabilis	„	312½	= 850
	agri inculti sive silvestris	„	537½	
portio IV	agri arabilis	„	308½	= 850.
	agri inculti sive silvestris	„	541½	

Locabatur autem portio I Bormioni Philotae f. hordei medimnis 57 caddice 1
portio II Damarcho Philonymi f. . . . 40
portio III Pisiae Leontisci f. 35
portio IV Philippo Philippi f. . . . . 278.

Itaque Pisias cum aequalis plane amplitudinis ager ei contigerit, campi autem arabilis etiam plus aliquanto quam Philippo, tamen octavam fere mercedis partem ipse pactus est. Cuius rei causa aperte in eo posita est quod cum reliqui non solum agros oleis vitibusque vacuos acceperint sed etiam sese obstrinxerint ut vitium non minus decem schoenos, oleas non minus quattuor per singulas schoenos ponerent (nam quae I 113 sqq. de prima portione praecipi videntur ea apparet de secunda quoque ac tertia valere), Philippus praeter oleas ficos aliasque arbores frugiferas viginti quattuor agri schoenos vitibus obsitas repperit. Hinc cur maiorem ille quam reliqui mercedem pependerit facile intellegitur, cum praesertim ex arborum cultu plus lucri percipi posset quam ex agro frumentario. Eadem autem ex re fortasse etiam causa repeti poterit, cur Philippus prius quam reliqui suam portionem conduxerit. Nam cum reliquos agros adhuc incultos haud facile invenirentur qui conducendos expeterent nihilque noceret si forte etiam alterum annum quiescerent, quartam portionem nisi quis protinus colendam susciperet, periculum erat ne sata neglecta perirent. Itaque Philippus praede adsumpto Apollonio Heracleti f. uno ex terminatoribus primum Aristarcho ephoro ad tempus agrum in se recepit, deinde Aristione ephoro cum omnes simul portiones locarentur et ipse certam pactionem iniit. Hanc interpretandi viam monstravit Wilamowitzius.

Altera tabula ephoro Dazimo scripta tantum abest ut magno temporis spatio a priore disiuncta sit (nam sermonis dialective nullum est gravioris momenti discrimen), ut potius proxime ad illam aetate accedere credam: probant hoc non solum eadem trium finitorum nomina sed etiam illud quod ut priore decreto agri Dionysiaci eiectis eis qui sacros agros privatos fecerant ad pristinos fines revocantur, ita hoc altero titulo Minervae agri, quorum partem item privati homines occupaverant, vindicantur: consentaneum autem est Heracleotas cum semel privatorum licentiam coercendam censuissent hoc negotium non ita divisisse, ut cum Dionyso sua tribuissent Minervam Poliadem in aliud tempus differrent. Iam vero quoniam ad agros sacros occupandos privatis non tam pacis tempora quam belli turbae opportunae videri debebant, civitati autem ad has res ordinandas pacis otio vel maxime opus erat, eo tempore putabimus tabulas scriptas esse, quo bello confecto pacem agerent Heracleotae; cf. etiam I 152, quo ex loco belli discrimina modo expertos esse conicias. Quicum convenit quod cum Aciris fluvius haud mediocrem soli partem, ut supra dictum est, abluisset, satis magnum temporis spatium inde ab priore terminatione praeteriisse censendum est. Prior autem terminatio, cuius indicia supersunt antomi et termini antiqui, facta aliquanto post a. 432, quo anno Heraclea urbs condita est.

Agrorum per alteram tabulam descriptorum hanc conatus sum imaginem adumbrare:

[1]) Portio II quod plus LXX schoenis minor erat reliquis probabiliter hoc Kirchhoffius inde explicavit, quod Aciris fluvius cum antea rectum fere cursum tenuisset sensim flexo itinere mediis se agris insinuasset; olim cum primum agri terminarentur omnes portiones eiusdem amplitudinis i. e. DCCCL schoenorum factas esse vel maxime probabile est.



Hanc tabulam in tam accurata locorum descriptione tamque plana mensurarum enarratione non dubito quin si quis geometres delineandam susceperit, facile is talem imaginem repraesentare possit quales ipsi Heracleenses finitores olim in foro proposuerunt. De mensuris v. Hultsch *Metrologie* ed. 2 p. 668 sqq.

I 106. 107 *ἀρτύειν* verbum quid significet non satis certum est. Quod explicant *agrum exercere* (Hesychii glossam *ἀρτυθῆναι· παρασκευασθῆναι* cur adferant non assequor), hoc vel eo refellitur quod non *τὰν γᾶν* sed *τὰν ἐπικαρπίαν ἀρτύειν* aperte intellegendum est. Fortasse sic haec interpretanda: *si cui alii tradiderit agrum quem ipse conduxit sive cui pignori obligaverit seu vendiderit messem, is cui tradiderit sive pignori obligaverit seu vendiderit haud aliter praedes dato atque qui ipse ab initio conduxerit.* Paullo diversa est vis verbi compositi apud Hesychium: *ἀπαρτύειν· ἀποκηρύσσειν· Ταραντῖνοι.* Ceterum altero loco (*οἷς κ' ἀρτύσει*) notandus intransitivus verbi usus. — I 110 vocabulum *ἀμπώλημα* cum male omnino Mazochius et Franzius explicassent, recte sine dubio quid rei esset perspexit Wilamowitzius. Praecipitur enim si quis nec praedes dederit nec mercedem solverit statutam, is ut et mercedem duplam deferat ad polianomos sitagertasque et ampolema praeterea *ὅσσῳ κα μείονος ἀμμισθωθῆ πὰρ πέντε Ϝέτη τὰ πρᾶτα ὅτι κα τελέθει ψαφισθὲν ἅμα πᾶν τῶι πράτωι μισθώματι.* Dicitur autem *ἀναμισθωθῆναι* is ager qui cum prior redemptor idoneus non fuerit alteri iam committitur; *ἀμπώλημα* igitur ea est merces quae huic alteri solvenda est, de qua cum prior sive pecuniae inops sive parum diligens male rem gesserit remittitur aliquid. Itaque quanto minus alteri pretium statuitur per primum quinquennium, tantum prior ne quid damni capiat res publica de suo supplere tenetur, velut si Gaius L medimnis agrum conduxit nec tamen solvit statutum pretium, Titius autem eundem agrum per primum quinquennium non L sed XXXX medimnis redemit, Gaius praeter duplam mercedem primariam i. e. praeter C medimnos insuper L medimnos debet, quam quidem totam pensionem nulla mora repraesentare iubetur (*ἅμα πᾶν τῷ πράτῳ μισθώματι ἀποτεισεῖ*). — I 120 de arboribus quas ei qui tres primas agri portiones conduxerint ponere ac colere iubentur haec praescribuntur: *ταῦτα δὲ πάντα* (scil. *δένδρεα*) *πεφυτευμένα παρέξονται καὶ ἐνδεδιωκότα ὅσσα ἐν τᾶι συνθήκαι γεγραψάται ἐν τῶι πέμπτωι καὶ δεκάτωι Ϝέτει ἀπὸ τῶ ποτεχεῖ Ϝέτεος ἢ Ἀριστίων ἐφορεύει.* Quaesivit quid esset *ἐνδεδιωκότα* Meisterus, qui *διόω* verbum ad eandem stirpem revocavit unde *διώκω* natum est, ut haec esset sententia: *haec omnia plantata praebento et secundum ea quae in pacto scripta sunt instituta.* Quod grammaticus nemo probare poterit: neque enim *καθ' ἃ* legitur sed *ὅσσα* (i. e. *totidem arbores quot*), neque (id quod recte ipse Meisterus falsae priorum explicationi obiecit) *ἐνδεδιωμένα* sed *ἐνδεδιωκότα*, denique generale illud *instituendi* verbum post *plantandi* verbum proprium nullam omnino vim habet, nec vero ceteroqui sermo est prolixus ultra necessitatem aut inutilem sectatur verborum ornatum. Aperte vero a conductoribus non id solum postulatur ut quinto decimo anno arbores severint, sed ut hoc temporis spatio exacto arbores revera extiterint, ita ut si semen sterile fuerit nova seminatione opus foret. Itaque succrescendi notionem verbo *ἐνδιόω* inesse existimo, ut intellegendae sint arbores quae in aerem succreverunt. — I 151 *ἄτεκνος ἄφωνος* i. e. *orbus et intestatus.*

Restant duo, primum ut nominum propriorum signa explicem, deinde ut glossarum indicem addam. Omnium qui memorantur hominum nominibus exceptis ephoris eponymis et Chaerea Neapolitano duplex praescriptum est notarum genus, velut (I 3) Ϝε *τρίπους Φιλώνυμος Ζωπυρίσκω*, quae notae quid significent quaeritur. Proponam duplicem earum tabulam:

I Α Ι *πέλτα Δάζιμος Πύρρω* (*ὁριστής* I 5)
Α Λ *λωτήριον Φίλιππος Φιλίππω* (*μισθωσάμενος* I 184)
Α Σ *βότρυς Τίμαρχος Νίκωνος* (*πολιανόμος* I 95)
Ϲ Ε *τρίπους Φιλώνυμος Ζωπυρίσκω* (*ὁριστής* I 3)
Ϲ Ε *ἄνθεμον Ἀπολλώνιος Ἀπολλωνίω* (*πολιανόμος* I 96)
Ϲ Ε *γυῖον Πεισίας Λεοντίσκω* (*μισθωσάμενος* I 183)
Ϲ Ε *γυῖον Ἀριστόδαμος Συμμάχω* (*γραμματεύς* I 187)
Ͱ Α *ἄνθεμα Φιλώνυμος Φιλωνύμω* (*πολιανόμος* I 166)
Ͱ Α *ἔμβολος Ἡρακλείδας Τιμοκράτιος* (*πολιανόμος* I 166)
Ͱ Α *ἔμβολος Δάμαρχος Φιλωνύμω* (*μισθωσάμενος* I 182)
Κ Ν *θρῖναξ Φιλώτας Ἱστιείω* (*ὁριστής* I 5. 6)
Κ Ν *σφαιρωτῆρες Ἀριστόδαμος* ..... (*πρώγγυος* I 184)
Μ Ε *ἐπιστύλιον Ἡρακλείδας Ζωπύρω* (*ὁριστής* I 6. 7)
Μ Ε *κιβώτιον Ἀρκὰς Φιλώτα* (*πρώγγυος* I 181)
Μ Ε *κιβώτιον Βορμίων Φιλώτα* (*μισθωσάμενος* I 180)
Π Ε *καρυκεῖον Ἀπολλώνιος Ἡρακλήτω* (*ὁριστής* I 4)
.. .. *Θεόδωρος Θεοδώρω* (*πρώγγυος* I 182)

II α ΑΝΘΕΜΑ *Φιλώνυμος Φιλωνύμω*
Ϝε ΑΝΘΕΜΟΝ *Ἀπολλώνιος Ἀπολλωνίω*
ασ ΒΟΤΡΥΣ *Τίμαρχος Νίκωνος*
Ϝε ΓΥΙΟΝ *Ἀριστόδαμος Συμμάχω*
Ϝε ΓΥΙΟΝ *Πεισίας Λεοντίσκω*
α ΕΜΒΟΛΟΣ *Δάμαρχος Φιλωνύμω*
α ΕΜΒΟΛΟΣ *Ἡρακλείδας Τιμοκράτιος*
με ΕΠΙΣΤΥΛΙΟΝ *Ἡρακλείδας Ζωπύρω*
κν ΘΡΙΝΑΞ *Φιλώτας Ἱστιείω*
πε ΚΑΡΥΚΕΙΟΝ *Ἀπολλώνιος Ἡρακλήτω*
με ΚΙΒΩΤΙΟΝ *Ἀρκὰς Φιλώτα*
με ΚΙΒΩΤΙΟΝ *Βορμίων Φιλώτα*
αλ ΛΩΤΗΡΙΟΝ *Φίλιππος Φιλίππω*
αι ΠΕΛΤΑ *Δάζιμος Πύρρω*
κν ΣΦΑΙΡΩΤΗΡΕΣ *Ἀριστόδαμος* .....
Ϝε ΤΡΙΠΟΥΣ *Φιλώνυμος Ζωπυρίσκω*
.. .. *Θεόδωρος Θεοδώρου*

Ante omnia hoc observabo in manubriis amphorarum Cnidiarum vel Rhodiarum saepissime impressas reperiri imagines vel prorae (= *ἔμβολος*) vel caducei (= *καρυκεῖον*) vel floris (= *ἄνθεμον, ἄνθεμα*) vel uvae (= *βότρυς*) vel tridentis (= *θρῖναξ*) vel diotae (= *λωτήριον*), quae imagines cum sine dubio insignia sint mercatorum, consentaneum est ut etiam Heracleotarum insignia intellegamus. Sic explicatur facile, quod Arcas et Bormio, Philotae filius uterque, quorum alter pro altero vadimonium fecit, eodem insigni utuntur (*κιβώτιον*). Sed non domorum, sed gentium singularum singula insignia esse alia exempla docent: idem insigne (*γυῖον*) habent Aristodamus Symmachi et Pisias Leontisci f., itemque idem (*ἔμβολον*) habent Damarchus Philonymi et Heraclidas Timocratis f. Iam vero ubi eadem sunt insignia, notae quoque eaedem antecedunt: ad *γυῖον* pertinet utrubique nota Ϝε, ad *ἔμβολον* nota α, ad *κιβώτιον* nota με. At non semper cum eisdem notis eadem insignia coniuncta sunt, velut ad Ϝε notam pertinent tripus flos genu, ad α notam flores et prora (s. rostrum), ad notam κν tridens et lora (*σφαιρωτῆρες*), denique ad notam με epistylium pertinet et cista. Itaque quoniam amplior est notarum circuitus, quippe quae singulae bina vel terna comprehendant insignia, notae necesse est superius aliquid gentibus significent, sive phratrias sive obas sive tribus intellegimus. Hoc ut diudicari nequeat, illud dubium non est, quin vocabulorum compendia sint omnia. — Ceterum *γυῖον fascinum* intellegit Marx studia Luciliana p. 75.

Glossas denique has habeto:

ἀμφίστασθαι (I 125)· *ἐξετάζειν* Hesych.

ἀρτύσωντι (I 106) cf. Hes. *ἀπαρτύειν· ἀποκηρύσσειν. Ταραντῖνοι* Hesych. Vide supra ad I 106.

ἀχύριον (I 140). Hesych. *ἄχυρος* (l. *ἀχύριος*)· *ὁ ἀχυρών, ἀχυροδόκη, ἀποθήκη τῶν ἀχύρων.* Aristoph. Vesp. 1310 (coll. schol.) non *ἀχυρμόν* cum Meinekio, sed *ἀχύριον* videtur corrigendum.

βοῶνα (I 139) cf. Hesych. *βοωνία· αὔλειος θύρα· Κρῆτες.* Similiter formata vocabula *γαιών* (I 136) et *τοφιών* (I 137).

γύαι (II 13 al.)· *πλέθρα* Hesych.

ἐγϜηληθίωντι (I 152). De verbo *ἐγϜηλέω* cf. Meister p. 382; vide etiam *ἀποϜηλέω* in titulo Eleo IGA 118.

κάδδιξ (I 53). Hesych. *κάδδιχον· ἡμίεκτον ἢ μέτρον* coll. Poll. IV 168, *ἡ δὲ ἄδδιξ μέτρον ἑξαχοίνικον.*

καταλυμακωθής (I 56). Hesych. *λύμακες· πέτραι.* Itaque *καταλυμακόω* est *terminum diffindere in multa disiectaque saxi fragmina* (*λύμακας*).

μασχάλη (I 92) vocabulum fortasse Graecis illarum regionum proprium, cf. Strabo VI p. 268 in. *ἡ μὲν Μεσσήνη τῆς Πελωριάδος ἐν κόλπῳ κεῖται καμπτομένης ἐπὶ πολὺ πρὸς ἕω καὶ μασχάλην τινὰ ποιούσης.* Fortasse ab ipsis accolis *μασχάλη* vocabatur.

ἐπαμώχει (I 14). Hesych. *παμῶχος· ὁ κύριος· Ἰταλοί* et *παμωχίων· κεκτημένος.*

πλάγος (I 66) glossa non superest, sed comparandum adiectivum *πλάγιος* et nomen *πλάξ*. Similiter *ῥάξ* et *ῥάγος* iuxta fuerunt, cf. Nicandri alexiph. 184 *ἐπὶ ῥαγέεσσι* cum nota Schneideri.

ῥήτρα (I 151). Photius *ῥῆτραι· Ταραντῖνοι δὲ νόμους καὶ οἷον ψηφίσματα.* Cf. Wilamowitz *philol. Unters.* VII 280 adn.

ῥογὸς δαμόσιος (I 102). Hesych. *ῥογοί· σιροὶ σιτικοί, σιτοβολῶνες* i. e. horrea frumentaria. Italicae sine dubio originis vocabulum.

σαρμευσεῖ (I 136). Hesych. *σαρμός· σωρὸς γῆς καὶ κάλλυσμα· ἄλλοι ψάμμον, ἄλλοι χόρτον* et *σάρματα· καλλύσματα· καὶ κόπρια παρὰ Ῥίνθωνι.* Itaque Tarentinis usitatum vocabulum.

σκίρω (I 19 al.). Hesych. *σκεῖρος· ἄλσος καὶ δρυμός. Φιλητᾶς δὲ τὴν ῥυπώδη γῆν.* Cf. Robert Hermae XX 350 sqq.

τράφος (II 51). Hesych. *τράφος· τάφος* (l. *τάφρος*).

646 Heracleae a. 1763 repertus lapis tofinus. Nunc Neapoli in museo.

Ͱ Ι Ϟ Τ Ι Α Ι Α Π Ρ Ο
Α Υ Τ Α Υ Τ Α Ϟ Κ
Α Ι Τ Α Ϟ Α ɸ Ρ Ο Δ
Ι Τ Ι Α Ϟ Δ Ο Ρ Κ Α Ϟ
Α Ν Ε Θ Η Κ Ε

Ἱστίαι πρὸ αὐταυτᾶς καὶ Ἀφροδιτίας Δορκὰς ἀνέθηκε.

Contuli. Ignarra in opusculis (Neap. 1807) p. 57; Ross inscr. gr. III p. 166 n. 9*a* (inde Keil syll. Boeot. p. 233; Franz add. III p. 1253 n. 5776); Fiorelli catal. 80.

Versu 1 legebatur *Ἱστιαίᾳ*, at quamvis nominis forma explicari possit offendit tamen iota omissum. Itaque fortasse iterata Α littera errori lapicidae debetur.

VIIII. METAPONTION (*Torremare*).

Μεταπόντιον (sic Thucydides 7, 33 et Graeci scriptores omnes) stadiis CXXXX ab Heracleae portu sita urbs, ut ad Antiochi Ephorique fidem narrat Strabo VI p. 264, *Πυλίων λέγεται κτίσμα τῶν ἐξ Ἰλίου πλευσάντων μετὰ Νέστορος* (cf. id. p. 222), *οὓς οὕτως ἀπὸ γεωργίας εὐτυχῆσαί φασιν ὥστε θέρος χρυσοῦν ἐν Δελφοῖς ἀναθεῖναι* (vide nummos) ... *Ἀντίοχος δέ φησιν ἐκλειφθέντα τὸν τόπον ἐποικῆσαι τῶν Ἀχαιῶν τινας μεταπεμφθέντας ὑπὸ τῶν ἐν Συβάρει Ἀχαιῶν ... ἵνα μὴ Ταραντῖνοι γειτνιῶντες ἐπιπηδήσειαν τῷ τόπῳ.* Saeculo IV ineunte Romanis se dedisse videntur Metapontini, a quibus post cladem Cannensem ad Poenos defecerunt cum aliis plerisque Graecis (Liv. 22, 61. 25, 15). Postea non amplius memoratur urbs: quodsi Pausanias (VI 19, 8) ait *ἐπ' ἐμοῦ δ' ὅτι μὴ θέατρον καὶ περίβολοι τείχους ἄλλο ἐλείπετο οὐδὲν Μεταποντίου*, ipse sine dubio locum non adiit. Ad hunc usque diem vetusti templi columnae rectae supersunt.

647 Metaponti in templo recens effosso repertus mense Aprili anni 1880 lapis calcaris vel arenaceus.



Descripsit Ioannes Schmidt. Ed. Fiorelli *notizie degli scavi* 1880 p. 190 (coll. tab. VI) cum notis Comparettii; Roehl IGA 540.

Ultimam tituli litteram Io. Schmidt interpretatus est Θ. Certa videntur haec:

Ἀπόλ(λ)ωνος Λυκ(είου) εἰμί, Θεάγεος .....

648 Ad Bradanum in templi ruderibus repertum, nunc in museo Torremarensi. Litterae IV a. Chr. n. saeculi LEN.

ᴗ Γ Ε Ω Ν
Ε Υ Ξ Ε Ν Ο Σ
ϕ Ι Λ Ι Σ Τ Ι Δ Α Ε Θ Η Κ Ε

Lenormant *bull. epigr. de la Gaule* 1883 III 41, 14.
Quas Lenormant exhibuit litteras eae IV saeculi non sunt.
-- Εὔξενος Φιλιστίδα ἔθηκε.

649 Ad Bradanum repertum, nunc in museo Torremarensi.

Α Ν Ε Θ Η Κ Α Ν

Lenormant *bull. epigr. de la Gaule* 1883 III 41, 15.
-- ἀνέθηκαν.

650 Metaponti *sur la margelle d'un puits antique déblayé dans les fouilles de M. La Cava; caractères de l'ancien alphabet achéen.*

Σ Τ / / / / / / / / V Χ Ε Ν

Lenormant *bull. epigr. de la Gaule* 1883 III 41, 12.
Fides tituli penes Lenormantium esto, qui sic legit Ἰτ..... [ἔτε]υξεν.

651 Metaponti sepulcra lapidibus tofinis constructa reperta sunt. In superioribus lapidum partibus:

1 ... ΜΙ 2 ΙΠΞ 3 ΙΞΥΙ

Fiorelli *notizie degli scavi* 1877 p. 96 sq. ex ectypo gypseo (inde diar. archaeol. 1877 p. 180).
Vel eadem vel similia vidit Lenormant *bull. epigr. de la Gaule* 1883 III 41, 13: *sur la tranche de la dalle en calcaire grossier d'un tombeau d'enfant découvert auprès de la Tavola de' Paladini; lettres de type archaique* ΓΗ ΙΝ

X. *S. MAVRO FORTE. PISTICCI.*

652 Columella fictilis reperta ad S. Maurum Fortem vicum septem fere ad septentrionem chilometris ab Stigliano situm, a Matera oppido ad occidentem versus.



Fiorelli *notizie degli scavi* 1882 p. 119 sq. missam ab Michaele Lacava, coll. tab. photogr. XI. Repetiit Roehl imag. inscr. Gr. p. 37, 5. Cf. Hiller annal. Fleckeis. 1883 p. 144 et Comparetti *rivista di filologia* XI 1.

Χαῖρε, Ϝάναξ Ἥρακλες (?), ὅ τοι κεραμεύς μ' ἀνέθηκε·
δὸς δέ Ϝ' ἰν ἀνθρώποις δόξαν ἔχεν ἀγαθ[ά]ν.
Νικόμαχός μ' ἐπόει.

Postquam ipsum carmen ille per quattuor columellae latera apte distribuit, subscriptionem ibi addidit ubi spatium maxime vacabat.

653 Pisticci *sarcofago trovato nell' anno* 1819.

Ε Π Ι W ἐπὶ ...
Ε Ι Τ Ι Λ ἐ[π]ὶ Λ...

Bonghi in epistula 12 Dec. 1829.

XI. GRVMENTVM (*Saponara*).

Cf. Mommsen CIL X p. 27.

654 *Presso Saponara in un sepolcro di tufo trovato sul petto d' uno scheletro un nobilissimo serto d' oro* ROMAN. Emit Ludovicus I rex Bavariae ab comitissa Lipona, olim Neapolis regina, Ioachimi Murat uxore SCHEDVLA REGIS LVDOVICI. Coronam eximia arte factam sic describit CHRISTIVS: *(der Kranz) besteht aus einem mit Eicheln reichbehangenen Eichenzweig ... auf den Aestchen stehen zwei bekleidete weibliche Genien mit zum Fluge gehobenen Flügeln und auf den Blättern wiegen sich vier kleine aus leichtem Goldblech gebildete Eroten, deren Blicke auf die grosse ... aufrecht stehende Göttin gerichtet sind, die einen Gräserkranz auf dem Haupte trägt und in der Linken eine Opferschale, in der Rechten eine Asterblüthe hält ... auf der Basis der Hauptfigur die mit Goldfäden ausgeführte Inschrift.* Nunc Monaci in antiquario.

ΚΡΕΙΘΩΝ
ΙΟΣΗΘΗΚΗ
ΤΟΕΙΣΤΗ
ΦΑΝΟΝ

Meum in usum parato animo descripsit Alfredus Emerson, qui etiam regis Ludovici schedulam mecum communicavit. Romanelli *antica topografia del regno di Napoli* (1815—19) I 403; Avellini *mem. della r. accad. Ercol.* (Nap. 1822) I 207, Ioannes Petrettini *Wiener Jahrb.* (1826) XXXV *Anzeigebl.* p. 33. Repetiit Franz 5777. Cf. Gerhard *ant. Bildw.* tab. 60 et Christ-Lauth *Führer durch d. Antiquarium* 619.

Quarti vel tertii saeculi teste Christio. Legendum:

Κρειθώνιος ἤθηκη (i. e. ἔθηκε) τὸειστήφανον (i. e. τὸν στέφανον).

XII. ANXIA (*Anzi*).

655 Galea Anxiae reperta; ex collectione Templiana in museum Britannicum pervenit ROEHL.

ΟΡΡΥΠΣΟΜΙΣΑΔ

Δάσιμος Πύρρω.

Ex suo apographo Roehl IGA 547.

Δάζιος, Δάζας, Δασούμμιος nomina Messapica, cf. Deecke mus. Rhen. 36 p. 585 sqq. Δάζιμος Πύρρω supra 645 I 5.

XIII. VELIA (*Castellamare della Bruca prope Pisciottam*).

Cf. Mommsen CIL X p. 51.

656 Veliae repertus cippus.

ΑΙΣΧΡΙΩΝ
ΛΙΝΥΣΙΟΥ

Αἰσχρίων Δι[ο]νυσίου.

Ex schedis Capialbi. Edidit idem litteris minusculis in *Fata Morgana, foglio periodico di Reggio 15 luglio 1839*; hinc Franz add. p. 1253 n. 5778*c* (*c*).

657 Veliae repertus cippus nunc puteo insertus.

ΕΙΜΩΝΟΣ
ΤΟΥΠΙΣΤΟΥ

Barnabei in *notizie degli scavi* 1882 p. 389; Lenormant *bull. épigr. de la Gaule* 1883 III 40, 8.

Εἴμωνος τοῦ Πίστου.

Proclivis est Σίμωνος coniectura.

658 Veliae apud L. de Lisa basis exigua.

Ι C Τ Ι Η Ἱστίη.

Barnabei *notizie degli scavi* 1882 p. 389; Lenormant *bull. épigr. de la Gaule* 1883 III 40, 7.

---

659 Veliae in agro Battagliese repertus cippus calcaris, nunc in domo colonica.

Ν Ι Κ Α C Τ Η C Ζ Ω Ι Λ //

Barnabei *notizie degli scavi* 1882 p. 389; Lenormant *bull. épigr. de la Gaule* 1883 III 40, 11.
Νίκας τῆς Ζωίλ[ου] legi videtur, sed mira forma Dorica.

---

660 Veliae repertus cippus.

Τ Ε Ρ Τ Ι Α
Θ Α Κ Ι Α Σ
Τ Ο Υ Δ Ι Ο Ν
Σ Ι Ο Υ

vacat

Τερτία .... τοῦ Διον[υ]σίου.

Ex schedis Capialbi. Edidit idem litteris minusculis in *Fata Morgana, foglio di Reggio 15 luglio 1839*. Hinc Franz add. p. 1253 n. 5778 *c* (*b*).
2 desidero patris nomen casu genetivo positum; Πακιάς non recte Franz.

661 Veliae repertum fragmentum marmoreum apud Raphaelum Battagliese.

Φ]ιλωνίδο[υ] Σωσάνδρο[υ] Ἀριστων[ύμο]υ υἱοῦ.

Ex schedis Capialbi. Idem edidit litteris minusculis in *Fata Morgana foglio periodico di Reggio 15 luglio 1839*. Hinc Franz add. p. 1253 n. 5778 *c* (*a*).

Lapis a dextra quamvis margine notato non videtur integer esse. Potest etiam trium hominum titulus restitui hunc in modum: Φιλωνίδου, Σωσάνδρου, Ἀριστωνύ[μ]ου.

XIIII. POTENTIA (*Potenza*).

Cf. Mommsen CIL X p. 21 sqq.

662 In Potentiae oppidi vicinia repertum *oggetto d'oro, possibilmente fermaglio* Lac.

a Κ Ω Π Α Ι Σ

ab altero latere:

b Α Π Ε·Σ Ρ / / ¯ Є V Μ: Ʒ

Imaginem stanniolo expressam beneficio debeo Michaelis Lacava.

In tit. *b* ex auro ipso Lacava legit Α Π Ε·Σ·Ρ Α Τ Є V Μ : Σ

Titulus prior potest Graecus esse, alter non est.

663 Potentiae repertum fragmentum quo loco vetus oppidum fuit.

Ectypum gypseum comiter misit Michael Lacava.

Graecum esse titulum non spondeo.

XV. POSIDONIA (*Pesto*).

Cf. Mommsen CIL X p. 52 sqq.

Ποσειδωνία urbs a Sybaritis condita (Scymn. 245) copiis olim et frequentia florebat, ut docent et nummi et templa quae supersunt. Sed Aristoxenus iam (apud Athen. 14 p. 632*a*) cives queri potuit *ἐκβεβαρβαρῶσθαι Τυρρηνοὺς ἢ Ῥωμαίους γεγονότας καὶ τήν τε φωνὴν μεταβεβληκέναι τά τε λοιπὰ τῶν ἐπιτηδευμάτων.* Priscae Graecitatis unam superesse memoriam *μίαν τινα τῶν ἑορτῶν τῶν Ἑλληνικῶν ἔτι καὶ νῦν, ἐν ᾗ συνιόντες ἀναμιμνήσκονται τῶν ἀρχαίων ἐκείνων ὀνομάτων τε καὶ νομίμων καὶ ἀπολοφυράμενοι πρὸς ἀλλήλους καὶ ἀποδακρύσαντες ἀπέρχονται.* Postea nomine simul mutato — Paestum enim iam appellata est — primum in Lucanorum, deinde in Romanorum potestatem pervenit (Strabo 5 p. 251).

664 Posidoniae (Paesti) empta et fortasse reperta statua exigua virginis canephori, nunc in museo Berolinensi. Titulus quattuor plinthi latera occupat.

ΑΚΕΔΑΔ | ΣΛΥ Μ Ρ Α Χ | ΟΛΛΣ Φ Σ | Α Ν Α Θ Α Τ

ΙΑΤ

Τἀθάναι Φιλλὼ Χαρμυλίδα δεκάτα[ν.

Vidi. E. Curtius diar. arch. XXXVIII 1880 p. 27; inde Roehl IGA 542.

665 Paesti in sepulcro lammina argentea reperta, postea apud comitem del Balzo (cf. Minervini *bull. Nap.* n. s. 1853 I 138).



Avellini et Welcker mus. Rhen. 1835 III 581 (cf. Welcker *kleine Schr.* III 237). Inde Franz 5778; Roehl IGA 541.

Τᾶς Θε . . . παιδός εἰμι.

Mihi videtur matris vel patris nomen ex litteris ⊞ Ε ◇ Τ Μ efficiendum; infantis nomen ut saepe tacetur. Wilamowitz legi vult *τᾶς θεοῦ τ[ᾶ]ς παιδός εἰμι.*

XVI. AGER ATINAS.

Cf. Mommsen CIL X p. 40 sqq.

666 *Rinvenuta in un fondo de' Signori Columna di Pertosa sito alla contrada Massavetere, cioè sulla via che mena da Vietri a Pertosa* IANN. Est ibidem a Monte Caggiano tertio mil. Pertosam versus in villa Chrysostomi Columnae MOMMS.

L · M A N N E I V S · Q · M E D I C '*sic*'
V E I V O S · F E C I T · Φ Υ Σ Ε Ι Δ Ε
Μ F Ν Ε Κ Ρ Α Τ Η Σ Δ Η Μ Η '*sic*'
Τ Ρ Ι Ο Υ Τ Ρ Α Λ Λ Ι Α Ν Ο Σ
Φ Υ Σ Ι Κ Ο Σ Ο Ι Ν Ο Δ Ο Τ Η Σ
Ζ ω Ν Ε Π Ο Ι Η Σ Ε Ν
M A X S V M A · S A D R I A · S · F
B O N A · P R O B A · F R V G E I · S A L V E

Descripsit Mommsen IRN 236, CIL I 1256 cum tabula LXX *c*, CIL X 388. Guarini *fasti duumvir. di Pompei* (1837) p. 179 (*rimessami son pochi giorni da Auletta*) et p. 216. Habet Iannelli ms., quem citat Mommsen.

L. Manneius Q(uinti) medic(us) veivos fecit, φύσει δὲ Μενεκράτης Δημητρίου Τραλλιανός, φυσικὸς οἰνοδότης ζῶν ἐποίησεν. — Maxsuma Sadria S. f. bona proba frugei salve.

XVII. VOLCEI (*Buccino*).

Cf. Mommsen CIL X p. 43 sqq.

667 Volceis Lucaniae *nel palazzo del Duca vecchio nel giardino* LIGOR. Idem voluit CITTADINI, qui scribit *dentro il giardino del retro scritto palazzo* (i. e. *del cav. di Sforzi*). Ibidem EGO. Lapis fuit, ut memini, perparvus quadratus, muro immissus.

. . Ε Π Ι Κ Α Σ Α Ο Υ
. . Ρ Ι Σ Σ Ι Α Ι Ν Ο Υ
. . Α Ρ Χ Ο Ν Τ Ο Σ

ἐπὶ Κα . . . . ἄρχοντος.

Vidi ego et exscripsi, sed schedula aliis tradita periit. Cittadini Marcian. f. 6'; Vatic. 5253 f. 327' et 356. Inde Ligorius Taurin. IV et Donius cod. Marucell. A 188 (in schedis Donianis a Gorio compositis), inter suspectas Mommsen CIL X p. 4*.

Є et C ubique Citt. Vat. f. 327'. — 1 Κ Α Ι Α Ο Υ Citt. Vat. f. 327' et Lig. Κ Α Ι Ο Υ Citt. Vat. f. 356 et Don. — 2 Π Ι Σ Σ Ι Α Ι Ν Ο Υ Ligor.

Archontis nomen non expedio, neque expedire me memini cum transcriberem; v. 2 Ἀρισσταίνου coniecit Wilamowitz. — Ceterum titulus qui ad Volceianorum rem publicam pertinere non potest aliunde videtur advectus esse.

XVIII. TARENTVM (*Táranto*).

Cf. Mommsen CIL IX p. 21.

Τάρας urbs in medii sinus Tarentini paeninsula egregio loco posita primum condita est a Iapygibus (Antiochus apud Strabonem VI p. 279), quibus expulsis Lacedaemoniorum coloni qui Παρθενίαι vocabantur (nomen omissis Antiochi Ephorique fabulis a Minerva Virgine ducendum, cf. Doehle *Gesch. Tarents,* Strassburg 1879 p. 12) locum occupaverunt saeculo ut videtur exeunte octavo (ol. 18, 4 Hieron.). Reipublicae forma ad Darei regis Persarum usque tempora Spartanae similis mansisse videtur (Ἀριστοφιλίδης τῶν Ταραντίνων ὁ βασιλεύς memoratur ab Herodoto III 136), paullo vero post bella Persica magno optimatum numero ab Iapygibus victo caesoque ad populum res pervenit (Aristot. pol. 8, 3 p. 1303 a^3), qui tamen Atheniensium classi portum aditumque negavit (Thuc. VI 44); laudat Tarentinorum regnum populare Aristoteles pol. 7 (6), 3 extr. Florebat civitas hoc potissimum tempore magnis terra marique opibus divitiisque, agricultura et re pecuaria, lanificio, piscatura, aliis multis opificiis; nimiam civium luxuriam et mollitiem castigant Theopompus (apud Athen. IV p. 166) et Clearchus (ibid. XII p. 522) Ephorumque ut videtur secutus Strabo p. 280, qui maxime eis opprobrio vertit τὸ ξενικοῖς στρατηγοῖς χρῆσθαι. Pythagoreae disciplinae multi addicti fuerunt Tarentini (cf. Iamblichi vit. Pyth. p. 190 Nauck), velut Philolaus et Eurytus, maxime vero Archytas, ut ait Strabo l. s., ὃς καὶ προέστη τῆς πόλεως πολὺν χρόνον. Inter crebra cum Messapiis Lucanisque bella Alexandrum Molossum arcessiverunt, qui tamen mox hostis ex amico factus τὴν κοινὴν Ἑλλήνων τῶν ταύτῃ πανήγυριν, ἣν ἔθος ἦν ἐν Ἡρακλείᾳ συντελεῖν τῆς Ταραντίνης, μετάγειν ἐπειρᾶτο εἰς τὴν Θουρίαν κατὰ ἔχθος (Strabo l. s.), unde patet Tarentum tunc temporis principem Graecarum civitatum locum obtinuisse. Pyrrho rege Tarentinorum socio victo a. 272 a Romanis urbs capta et ad foedus admissa est; postea cum ad Hannibalem defecissent (a. 208) τὴν ἐλευθερίαν ἀφῃρέθησαν, ut ait Strabo (cf. Mommsen l. s.), et a. 122 colonia eo deducta est Neptunia dicta: ὕστερον δ᾽ ἀποικίαν Ῥωμαίων δεξάμενοι καθ᾽ ἡσυχίαν ζῶσι καὶ βέλτιον ἢ πρότερον (Strabo p. 281).

668 Tarenti in sepulcro in agro Thesauri nomine appellato, qui dicionis est Ludovici Loiucco, repertae duae lamminae plumbeae, nunc in museo Neapolitano.

I.

ΠΟΛΕΜΑΡΧΟΣ	Πολέμαρχος
ΑΙΣΧΡΩΝ	Αἴσχρων
ΤΙΜΟΚΡΑΤΗΣ	Τιμοκράτης
ΝΙΚΟΚΡΑΤΗΣ	Νικοκράτης
ΞΕΝΟΚΑΔΗΣ	Ξενοκάδης
ΒΙΑΣ	Βίας
ΠΑΥΣΩΝ	Παύσων
ΣΤΙΛΠΑ	Στίλπα
ΕΥΡΥΤΟΣ	Εὔρυτος
ΣΑΜΥΘΑ	Σάμυθα
ΦΙΛΩΤΑΣ	Φιλώτας
⊢ΑΓΙΣ	Ἅγις
ΙΩΠΥΡΑΜΑΧΑΝ	Ζωπύρα Μαχαν.
⊢ΙΣΤΙΑΙΑ	Ἱστιαία
ΕΠΑΙΝΕΤΟΣ	Ἐπαίνετος
ΣΙΜΩΝ	Σίμων
ϜΑΡΙΧΟΣ	ϝάριχος
ΣΦΕΝΔΩΝ	Σφένδων
ΔΑΜΟΤΕΛΗΣ	Δαμοτέλης

II.

ΦΙΛΗ	Φιλη . . .
ΒΟΤ	Βοτ . . . .
ΜΕΛ	Μελ . . . .
⊢ΙΣΤ ΑΙΟΣΟΛ	Ἱστ[ι]αῖος Ὀλ.
ΚΡΑΤΙΣΚΟΣ	Κρατίσκος
ΠΟΛΥΑΙΣ	Πολυ[λ]ίς ?
ΚΑΛΛΙΚΡΑΤΗΣ	Καλλικράτης
ΓΛΑΥΚΟΣ	Γλαῦκος
ΣΙΜΥΛΙΣ	Σιμυλίς
ΑΝΘΡΩΠΙΣΟΣ	Ἀνθρωπίσ[κ]ος ?
ΔΑΜΑΙΝΕΤΟΣ	Δαμαίνετος
ΦΙΛΙΣΤΑ	Φιλίστα
ΔΕΥΚΑ	Λ]εύκα
ΙΩΠΥΡΟΣ	Ζώπυρος
ΤΥΡΙΧΑ	Τυρίχα
ΒΟΤΥΡΟΣ	Βότυρος
⊢ΙΣΤΙΑΙΟΣΛΙ	Ἱστιαῖος Λι.
ΑΡΙΣΤΑΚΟΣ	Ἀρίστα[ρχ]ος an Ἀριστα[ῖ]ος?
ΑΡΙΣΤΟΔΑΜΟΣ	Ἀριστόδαμος
ΠΛΕΙΣΤΩΙ	Πλειστώι.

Ed. Fiorelli *notizie degli scavi* 1880 p. 34 cum notis Comparettii. Conicit Comparetti tabulam esse Pythagoreorum sexus utriusque, qui in sodalis sepulcro nomina sua inscripta posuerint. Cui coniecturae etiamsi favere videatur quod aliquot nomina in Iamblichi catalogo Pythagoreorum recurrunt, velut integra Polemarchus Tarentinus, Xenocades Metapontinus, Zopyrus Tarentinus, Histiaeus Tarentinus (Ἑστιαῖος Iambl.), Eurytus Tarentinus, quibus addi possit ex coniectura satis audaci Μέλ[ισσος] Samius (II 3) et fortasse Mylliae Crotoniatae uxor Τυρίχα (II 15 Τιμύχα Iambl.), tamen haec minime sufficiunt ad Comparettii sententiam confirmandam, cum praesertim Euryto Philolai discipulo aliquanto recentior videatur titulus esse, recentior etiam tabulis opinor Heracleensibus. Itaque pauca illa nomina quae communia sunt catalogo Iamblichi et titulo Tarentino facilius inde explicantur quod illarum terrarum usu recepta erant.

Pag. I 17 ϝάριχος nomen certum; conferri iubet Wilamowitzius Hesych. βάριχοι· ἄρνες et ἄριχα· ἄρρεν πρόβατον. — Pag. II 2 certe non Βότ[υρος] supplendum, cf. ibid. v. 16; cognomines enim homines addita utrubique nota inter se distinguuntur, cf. II 4 et 17.

669 Apud Tarentum *blocco di cárparo.*

Ε Π Ο Ι Ε
Ε Σ Α Ν Ε Θ Ε Κ Ε

Viola *notizie degli scavi* 1883 p. 184.

ὁ δεῖνα] ἐποίη
ὁ δεῖνα . .]ης ἀνέθηκε.

670 Tarenti lapis marmoreus rep.

L Π Λ
Τ Ρ Ι Η Ρ Ε Α Σ
Α Υ Τ Ο Σ Θ Ε Ν

Viola apud Fiorellium *notizie degli scavi* 1884 p. 124.

671 Tarenti reperta basis (*di pietra carparigna*), in qua fuit avis imago, cuius et cauda et crus alterum superest.

Α Γ Α Θ
Ξ Ε Ν

Fiorelli *notizie degli scavi* 1881 p. 436; Lenormant *bull. épigr. de la Gaule* 1883 III 41, 17. Fuitne artifex Ἀγαθ[ό]ξεν[ος ?.

PARS TERTIA.

CALABRIA. APVLIA EIVSQVE VICINIA.

I. BRVNDISIVM (*Brindisi*).

Cf. Mommsen CIL IX p. 8 sqq.

Brundisii oppidi ut nomen Messapicum (*βρένδον cervum, βρένδιον* vel *βρέντιον caput cervinum* dixisse Messapios testantur glossographi, cf. Hesych. s. v. *βρένδον*, Et. Gud. s. v. *Βρενδήσιον*, Seleucus apud Steph. Byz. s. v., Strabo VI p. 282) ita origo non Graeca, quidquid Graeci fabulabantur scriptores; Iapygas Tarento a Graecis eiectos Brundisii consedisse primus fortasse Antiochus narraverat, cf. Strabo VI p. 278 sq. et 282. Reges Brundisinorum memorat Strabo l. s., quo quidem tempore urbs bello cum Tarentinis gesto magnam agri iacturam fecisse dicitur. Bello Punico primo (a. 245) colonia eo deducta est a Romanis (Liv. epit. 19), qui iam XX fere annis ante Brundisio potiti sunt, et inde ab illo tempore portu Brundisino, quem novit iam Herodotus (IV 99), laudat praeter Strabonem Polybius X 1, 8, 'communis', ut ait Mommsen, 'populorum negotiatio uti coepisse putanda est'.

672 Apud Brundisium repertus caduceus aeneus, a. 1867 Venetiis apud Andream Dondi-Orologio.

ΔΑΜΟΣΙΟΝΘΟΥΡΙΩΝ
ИОИІИЕΔИЕRΒИОІИОΜΑΔ

Ed. Mommsen Herm. III 298, qui et genuinos titulos testatur et versu altero Σ et N litteras eadem forma uti adfirmat.

δαμόσιον Θουρίων. δαμόσιον Βρενδεσίνων.

Ex scripturae litteraturaeque diversitate apparet priorem titulum ex Thuriorum, alterum ex Brundisinorum auctoritate inscriptum esse. Ad quodnam tempus hoc illarum civitatum commercium sive foedus pertineat nescio.

673 Brundisii in domo familiae Stephaniae Cas.

ΘΑΛΗΣΜΕΙΛΗΣΙΟΣ
ΕΝΓΥΑΠΑΡΑΔΕΑΤΑ

Θαλῆς Μειλήσιος. ἐνγύα, παρὰ δὲ ἄτα.

Habet Io. Bapt. Casimiro epistula apologetica ad Q. Mar. Corradum a. 1567 (ms. bibl. Brundis.). De fraude auctor nunquam suspectus est, nec est cur magis hic titulus (sine dubio in herma insculptus) offendat quam Biantis herma similia.

---

674 Brundisii pro foribus aedium Diomedis Athenaei medici Vallamb. et Smetivs, qui addit 'in basi'. In aedibus Diomedis Catiniani Corr. (Cetiniani Casim., Casiniani Vrs.).

ΕΥΚΡΑΤΙΔΑΣ ΠΕΙΣΙΔΑΜΟΥ
ΡΟΔΙΟΣ
ΦΙΛΟΣΟΦΟΣ ΕΠΙΚΟΥΡΕΙΟΣ
ΤΟΝΤΟΠΟΝ ΤΗΣ ΒΡΕΝΔΕΣΙΝΩΝ ΒΟΥΛΗΣ
ΕΙΣ ΤΑΦΗΝ ΨΗΦΙΣΑΜΕΝΗΣ
EVCRATIDAS·PISIDAMI·F·RHODIVS
PHILOSOPHVS·EPICVRIVS
L·P·D·D·D

Tria sunt apographorum genera, primum versibus male divisis (v. 1 — Ῥόδιος, v. 2 — τὸν, v. 3 — βου-, v. 4 — ψηφισαμένης, v. 5 — Rhodius, v. 6 — L · P · D · D · D) Corradi in Manutii codice Vat. 5241 f. 572 = 5353 f. 325 (inde Manutius orthogr. 22, 1; Ursinus imagin. f. 72; Ligor. Neap. VIII f. 9; ex Ursino Gennaro Grande *cognomi gentilizi* p. 30), alterius generis recte divisis versibus duo sunt exempla, alterum Pontani (cuius ex libro a. 1547 exscripsit Morillon ap. Metellum Vat. 6039 f. 301′ et accuratius apud Ligorium Neap. VII p. 488 et 489), alterum Vallamberti apud Metellum Vat. 6039 f. 302 et apud Smetium ed. f. 84, qui quod dicit ab Morillonio se accepisse, habuit sine dubio huius exemplum ex Vallamberto correctum; ex Smetio Grut. 406, 2; hinc Franz 5783 coll. add. p. 1254. Tertium denique Casimiri est apographum (epistula apologetica ad Q. Mar. Corradum 1567 ms. bibl. Brundis.), in quo versibus recte divisis Latina vv. 6—8 desunt; cf. Mommsen IRN p. 27, CIL IX 48.

Exhibui fere Vallamberti exemplum. — 1 ΠΕΙΣΙΔΑ////// Pont. ap. Ligor. VII — 4 ΒΡΟΥΝΔΕΣΙΝΩΝ Pont. Casim., ΒΡΟΥΝ ΤΕΣΙΝΩΝ Ligor. VIII — 5 ΥΝΡΙΣΑΜΕΝΗΣ Pont. ap. Met., ////ΡΙΣΑΜΕΝΗΣ Pont. ap. Ligorium VII, qui ΥΝ litteras incommodas omisit, ΨΗΦΙΖΑΜΕΝΗΣ Vall. (ΨΗΦΙΣΑΜΕΝΗΣ Ligor. VIII, ΨΗΦΙΣΜΕΝΗΣ Casim.). Probabile est litteras fuisse ΣΕΩ; Vallambertus habet ЄϹѠ — 7 EPICVRIVS Pont. ap. Met. et Vallamb., EPICVREVS Pont. ap. Ligor. VII. — Latina spuria iudicabat Mommsen IRN p. 27, sed nuper admisit genuina esse, et praescribit Corradus 'eodem in saxo idem epitaphium'.

Εὐκρατίδας Πεισιδάμου | Ῥόδιος, | φιλόσοφος Ἐπικούρειος, | τὸν τόπον τῆς Βρενδεσίνων βουλῆς | εἰς ταφὴν ψηφισαμένης.

---

675 Brundisii.

ΓΕΟΡΓΙΑΣ
ΕΝΙΑΥΤΩΝΝ

Γεοργίας ἐνιαυτῶν ν′.

Habet Io. Bapt. Casimirus epistula apologetica ad Q. Mar. Corradum 1567 (ms. bibl. Brund.). Inde Franz add. p. 1254 n. 5783*d* missam a Mommseno.

676 Ad Brundisium rep. a. 1842 in vicinia hypogaei.

ΔΑΜΟΚΗΑ
ΤΗϹ
ЄΖΗϹЄ · ЄΤΗ
ΛΑ

Descripsit Io. Tarantini. Lege Δαμοκ[ρ]άτης ἔζησε ἔτη λα′.

677 Brundisii apud Villanovam MOMMS., ubi non repperi.

ЄΙΡΗΝΑΙ
ΑΝΝΙΟΥ
ΚΥΠΡΙϹЄΖ
ЄΤΗΚΓ

Εἰρηναί[α] Ἀννίου Κύπρις, ἔζ[η] ἔτη κγ′.

Descripsit Mommsen. Edidit Imm. Mola *giorn. letterario di Napoli* 1798 m. Ian. et Febr. Ex schedis Mommseni Franz add. p. 1254 n. 5783*b*.

678 Brundisii.

HERACLAS
HERACLIDV
ALEXANDREVS
VIXITAN · L · HS

Ex ectypo a Tarantinio misso Fiorelli *notizie degli scavi* 1880 p. 45. Ἡρακλᾶς Ἡρακλ(ε)ίδου Ἀλεξανδρεύς, *vixit an(nis) L, h(ic) s(itus)*.

679 Brundisii repertus lapis calcaris, nunc apud Ioannem Tarantini archidiaconum.

ΚΥΡΙѠΝ Η
ΡΑΚΛΙΔΟΥ
ЄΖΗϹЄ ЄΤΗ
Μ

Κυρίων Ἡρακλίδου ἔζησε ἔτη μ′.

Misit apographum Henzeno Tarantini a. 1874.

680 Brundisii apud Villanovam.

ΟΥΑΛЄΝΤΙ
Ρ · ΧѠΡ · Α
ΥΜΙΔѠΝ
ΤЄΡΓ · ΤΗϹ
ΦΥΛΙΑϹ
ΗΝΟΔѠΡΟϹ
ΠΑΤΡѠΝΙ
ΗϹΧΑΡΙΝ

Descripsimus Mommsen et ego. Ed. Immanuel Mola *giorn. letterario di Napoli* 1798 m. Ian. et Febr. Ex schedis Mommseni Franz add. p. 1254 n. 5783*c*.

.. Οὐάλεντι [π]ρ(αιφέκτῳ) χώρ(της) α′ [Ν]ουμιδῶν [ἐκ] Πέργ(ης) τῆς [Πα]μφυλίας [Ἀθ]ηνόδωρος [τ]ῷ πάτρωνι [μνήμ]ης χάριν.

'Privilegium a. p. Chr. 178 (ephem. epigr. IV 504) datum est militibus cohortis I Flaviae Numidarum, quae est Lyciae Pamphyliae' MOMMS.

681 Brundisii repertum, nunc in bibliotheca.

ΦΡΟΝΤѠΝ
ΔΙΚΙΤΗϹϹΥΡΙΑ
ΟΗ · ϹЄΝΚΛЄ · Α
sic ΑΔϹΑΦΟϹ
ΜΗϹΧΑ

Descripsi.

Φρόν[τ]ων[ι Λαο]δικῖ τῆς Συρία[ς ἐπ]όησεν Κλεα... ἀδελφὸς [μνή]μης χά[ριν].

Λαοδικῖ supplevit Mommsen.

682 Repertum Brundisii a. 1802.

ενθαδεκειταιθρειξφερτατοςηρωςψσωσιατιφαεν
ησυχαζεουλανωτισεχενενιεγαροιηνθεοιοςανηρη-θ
